## ΚΕΦΑ'ΛΑΙΟΝ, ΠΕ'ΜΠΤΟΝ.

### Ὅτι τέτταρα ἐστὶ τὰ στοιχεῖα, καὶ ὅτι ἀδύνατον ἀρχήν τινα εἶναι τῶν αὐτῶν.

ΟΥ' μὴν ἀλλ' ἔτι καὶ περὶ αὐτῶν τῶν στοιχείων θεωρήσωμεν. πότερον, ἔστι τι πρότερον αὐτῶν ἐξ οὗ σύγκειται, ἢ θατέρῳ θάτερον ὑπόκειται; τρία γὰρ ταῦτα προὔκειτο ἐν τῷ πρώτῳ κεφ. τό, τε δυνάμει σῶμα αἰσθητὸν ὅπερ ἐστὶν ἡ ὕλη, καὶ αἱ ἐναντιώσεις, καὶ τρίτον πῦρ ἤδη καὶ ὕδωρ, καὶ τὰ τοιαῦτα. περὶ μὲν οὖν τῆς ἐναντιώσεως καὶ τῶν στοιχείων τοσούτων εἰρημένων, λείπεται ἡ περὶ τῆς ὕλης σκέψις, καίτοι κἀνταῦθα τὰς τῶν παλαιοτέρων ἐξετάσωμεν δόξας διαιρέσει χρώμενοι τοιαύτῃ. ἀνάγκη γὰρ τὰς τῶν φύσει συνεστώτων ἀρχὰς ἢ μίαν ἢ πλείους, καὶ εἰ μίαν, ἢ τῶν τεττάρων ἑτέραν ἢ ἕν τι τῶν τεττάρων, καὶ εἰ ἓν τῶν τεττάρων, ἢ μεταβλητὴν ἢ ἀμετάβλητον. εἰ δὲ πλείους ἢ δύω ἢ τρεῖς, ἢ καὶ πάντα τὰ τέτταρα στοιχεῖα. τὸν γὰρ ἀριθμὸν τοῦτον οὐδεὶς ὑπερέβη τῶν πάλαι. τοσούτων οὖν ὄντων τῶν μερῶν τῆς περὶ τὰς ἀρχὰς διαιρέσεως, οὐκ εἰκός ἐστι πάντα καθ' ἓν ἕκαστον ἀνατρέψαι, ἀλλ' οἷς ὁ ἔλεγχος κοινός ἐστι, θατέρου τῶν μερῶν ἀναιρεθέντος καὶ τἄλλα τοῖς αὐτοῖς λόγοις ἄτοπα νομίσωμεν. Πρῶτον μὲν οὖν ἐξετάσωμεν τοὺς λέγοντας τὰ στοιχεῖα ὕλην ὑποκεῖσθαι τῶν Φυσικῶν σωμάτων, ἤτοι ἓν ὑποθεμένους ὡς Θαλῆς καὶ Ἡράκλειτος, ἢ δύω, ὡς Παρμενίδης, ἢ πλείω ὡς Ἐμπεδοκλῆς. ἓν μέντοι τῶν τεττάρων ἐν ὕλης παραλαβεῖν λόγῳ, οἷον Ἀέρα, ἢ Ὕδωρ, ἢ Πῦρ, ἢ Γῆν, ἀδύνατόν ἐστι τούτου πρῶτον ὑποτεθέντος, ὅτι ἐξ ἐναντίων ἀεί ἐστιν ἡ μεταβολὴ εἰς τὰ ἐναντία. εἰλήφθω γὰρ παραδείγματος λόγῳ, ὁ ἀὴρ ὡς ὑποκείμενον ἐξ οὗ τἄλλα γίγνεται, ἆρα ἐξ ὑπομένοντος καὶ ἀμεταβλήτου ἀποτελεῖται τὰ ἄλλα, ἢ μὴ ὑπομένοντος ἀλλὰ μεταβάλλοντος; καὶ εἰ μὲν μὴ ὑπομένει, ὅτι ἀδύνατον ἀρχὴν ὑλικὴν ὡς λέγεται γενέσθαι τὴν πρώτην, ῥηθήσεται κατωτέρω. εἰ δὲ ὑπομένει, πρὸς τοῖς ἄλλοις ἄτοπον ἕψεται τὸ μὴ γένεσιν εἶναι, ἀλλ' ἀλλοίωσιν. Ἡ μὲν γὰρ ἀλλοίωσις μεταβολή ἐστι περὶ τὸ ἐνεργείᾳ ὄν, κατὰ πάθος γιγνομένη, ἡ δὲ γένεσις τοῦ ὅλου μὴ ὑπομένοντος, εἰς ὅλον μεταβολή, ὥστε εἰ τὸ ἓν ὑπομένον τὸ αὐτὸ τὰ ἄλλα ποιεῖ, ἔσται μὲν ἀλλοίωσις, ἀλλ' οὐ γένεσις, ἅμα δὲ οὐδὲ οὕτω δοκεῖ



ΙΩΑΝΝΙΝΑ 2006

ὡς κομιδῆ ἄτοπον, ὥστε ὕδωρ ἅμα εἶναι καὶ ἀέρα, ἢ ἄλλο ὁτιοῦν οἷον ὕδωρ καὶ πῦρ, ἢ πῦρ καὶ γῆν, τοῦτο δὲ ὅμως ἕπεται τῇ ὑποθέσει τῇ ἐξ ἑνὸς ὑπομένοντος τὰ ἄλλα ποιούσῃ, εἰ γὰρ ἐξ ἀέρος ὑπομένοντος ὕδωρ γίγνεται, ἔσται ἄρα, σαφῶς ὕδωρ ἅμα καὶ ἀήρ, ὅτι δὲ τοῦτο, ἄτοπον δείκνυται. ὑπέκειτο γὰρ ὅτι ἡ μεταβολὴ εἰς τἀναντία ἐστὶ, τὰ δὲ στοιχεῖα θάτερον ἔχει μόριον τῆς ἐναντιώσεως, καὶ τῆς διαφορᾶς, οἷον τὸ Πῦρ μὲν τὴν θερμότητα, τὸ δὲ Ὕδωρ τὴν ψυχρότητα, καὶ ὁ μὲν Ἀὴρ τὴν ὑγρότητα, ἡ δὲ Γῆ τὴν ξηρότητα, ὥστε μεταβάλλοντα ἐξ ἐναντίων εἰς ἐναντία ἀδύνατον ἅμα εἶναι, εἰ γὰρ ἐξ ἀέρος γίγνεται πῦρ ἀνάγκη μὴ πρότερον θερμὸν ὑπάρξαι τὸν ἀέρα, εἰ γὰρ ἦν θερμὸς πῶς γέγονε θερμός; ἐπειδὴ ἐναντίων ἡ μεταβολὴ ὡς προείληπται, εἰ δὲ μὴ θερμὸς ὢν γέγονε πῦρ γενόμενος θερμός, ἀλλοίωσις μόνον ἔσται ἡ τοιαύτη μεταβολή, καὶ μάχεται ταῖς αἰσθήσεσι τοῦτο, εἰσάγεται γὰρ τἀναντία ἐν τῷ αὐτῷ ὑπάρχοντα. ἐπειδὴ γὰρ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον ἡ μεταβολή, ἔσται μὲν ὁ ἀὴρ ἐξ οὗ γίγνεται τὸ θερμὸν ψυχρὸν, ἀλλ' ὑπομένειν λέγεται, ἔσται ἄρα θερμὸν ἅμα καὶ ψυχρόν. ἅμα δὲ πάλιν ἀνακάμπτοντες τὰ αὐτὰ εὕροιμεν ἄτοπα. εἰ γὰρ ἔσται ἐκ τοῦ πυρὸς ἀήρ, ἐπειδὴ ἐκ τῶν ἐναντίων ἡ μεταβολὴ γενήσεται ἐκ πυρὸς ἀήρ, τοῦ θερμοῦ μεταβάλλοντος εἰς τὸ ψυχρὸν, ὑπάρξει ἄρα τῷ ἀέρι τὸ ἐναντίον τῷ θερμῷ, καὶ ἔσται ὁ ἀὴρ ψυχρόν. ἀλλὰ μὴν ἐλέγετο ὅτι τὸ ἐξ οὗ ὑπομένει τὸ αὐτὸ καὶ μὴ μεταβάλλει, ἔσται ἄρα τὸ αὐτὸ θερμὸν ἅμα καὶ ψυχρὸν, τοῦτο δὲ οὐχ οἷόν τε, ἀδύνατον ἄρα τὸ πῦρ ἀέρα θερμὸν εἶναι, ἢ τὸν ἀέρα πῦρ ψυχρὸν καὶ οὐδετέρου θατέρῳ, οἷον τε ὄντος, ὑποκεῖσθαι ἄλλο τι παρ' ἀμφότερα τὸ αὐτὸ ἔσται καὶ πῦρ καὶ ἀήρ, καὶ ἄλλη τις ὕλη κοινή. ὁ δ' αὐτὸς λόγος περὶ ἁπάντων ἐστὶν, ὅτι οὐδὲ δύο τῶν τεττάρων, οὐδὲ τρία, οὐδὲ τὰ τέτταρα ὁμοῦ ἐνδέχεται ὡς ὕλην ὑποτίθεσθαι πρώτην, τῆς γὰρ μεταβολῆς οὔσης εἰς τὸ ἐναντίον ὅσα δήποτε τῶν στοιχείων ἀρχὴν τιθέμεθα. Πρῶτον μὲν ἕπεται μὴ γένεσιν εἶναι, ἀλλ' ἀλλοίωσιν, τὰ γὰρ ἐν ἀρχῆς τάξει παραλαμβανόμενα μένειν εἰκὸς τὰ αὐτὰ, ὥστε τὸ γεγονὸς ἔσται κατὰ ἀλλοίωσιν, ἀλλ' οὐ γένεσιν. Δεύτερον δὲ ὅτι μάχεται ταῖς αἰσθήσεσι πῦρ μὲν εἶναι ἀέρα, καὶ ἔμπαλιν. Τρίτον ὅτι ἔσται ἅμα ἐν τῷ αὐτῷ τἀναντία ὡς δέδεικται, ὥστε οὐχ οἷόν τε τῶν στοιχείων ἅττα τῶν λοιπῶν ἀρχὰς ὑποτίθεσθαι. Οὐ μὴν ἀλλ' οὐδ' ἄλλο τί γε παρὰ τὰ στοιχεῖα σῶμα ὂν, καὶ καθ' ἑαυτὸ ὑφεστὼς, ὕλη δύναται τῶν τεττάρων εἶναι, ὥσπερ Ἀναξίμανδρος ὑπέθετο μέσον τι σῶμα ἀέρος καὶ ὕδατος, ἢ ἀέρος καὶ πυρὸς παχύτερον καὶ πυρὸς, γῆς δὲ καὶ ὕδατος λεπτότερον, εἴη γὰρ τὸ τοιοῦτον σῶμα ἀὴρ καὶ πῦρ ἅμα μεταξὺ τούτων ὑπάρχον, καὶ ἕξει ἐν ἑαυτῷ τὴν



ΙΩΑΝΝΙΝΑ 2006

ἐναντιότητα, ἐπειδὴ γὰρ ὡς προείρηται ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον
ἡ μεταβολή, ἔσαι τὸ κοινὸν σῶμα ψυχρὸν μὲν, ὅτι ἐκ τούτου γίνεται τὸ
θερμὸν, θερμὸν δὲ ὅτι ἐκ τούτου γίγνεται τὸ ψυχρὸν, ὥστε ἅμα ἔσαι
πῦρ καὶ ἀὴρ, καὶ θερμὸν καὶ ψυχρὸν, ταῦτα δὲ ἄτοπα, ἀλλ' εἴποιτις αὖ
ὅτι ἐπειδὴ ἡ στέρησις θάτερόν ἐστι τῶν ἐναντίων μόριον, ἕξει τὸ τοιοῦτον
σῶμα τὴν στέρησιν τοῦ θερμοῦ καὶ ψυχροῦ, ἀλλ' οὐχ ἅμα τὴν ἐναντίωσιν,
τοῦτο δ' ὅμως ὁμοίως ἀδύνατον, σῶμα γὰρ καθ' ἑαυτὸ ὑφεστὼς ἐκτὸς
ποιότητός τινος, οἷον θερμότητος ἢ ψυχρότητος, ὥστε μονοῦσθαι, καθά-
περ φασί τινες τὸ ἄπειρον καὶ τὸ περιέχον, ὅπερ ἐν ὕλης ὑποτιθέα-
σι τάξει καθ' ἑαυτὸ ἀδιάφορον, καὶ οὐδὲν ἐνεργείᾳ, οὐκ ἐνδέχεται, ἤ-
τοι ἄρα τὸ κοινὸν σῶμα ὁμοίως ἔσαι ὁτιοῦν τούτων, καὶ ἔσαι θερμὸν ἅ-
μα καὶ ψυχρὸν, καὶ ὑγρὸν καὶ ξηρὸν, ἢ οὐδὲν τούτων, ὥστε ἄποιον εἶναι,
ἀμφότερα δὲ ἄτοπα, τὸ, τε τὰς ἐναντιώσεις ἅμα ἔχειν, καὶ τὸ ἐκτὸς
ποιότητος εἶναι σῶμα αἰσθητὸν ὑπάρχον. εἰ οὖν οὐδὲν αἰσθητὸν σῶμα τῶν
σοιχείων πρότερον ὑποκείμενον ἔσαι, ἐξ οὗ γένοιτο πάντα ὡς Ἀναξί-
μανδρός φησιν, ἀλλ' οὐδὲν τῶν τεττάρων ἔτι μᾶλλον, ἢ ἕτερον, ὁμότι-
μα γάρ εἰσιν ἀλλήλοις, πάντα αὖ τὰ σοιχεῖα ἔσαι πρῶτα αἰσθητὰ σώ-
ματα ὡς ἀρχὴ καὶ ὕλη ἐκ ἀλλήλων, ἀλλὰ τῶν μικτῶν ἁπάντων. οὐ
μὴν ἀλλ' εἰδέναι δεῖ, πότερον ἀεὶ μένοντα καὶ ἀμετάβλητα ὄντα εἰς ἄλ-
ληλα συνιόντα τὰ ἄλλα κατ' Ἐμπεδοκλέα, ἢ μεταβάλλοντα; καὶ
εἰ μεταβάλλει, ἢ πάντα, ἢ τὰ μὲν, τὰ δ' οὔ, ὥσπερ ἐν τῷ τιμαίῳ
Πλάτων ἔγραψε, τὴν γῆν ἀμετάβλητον ὑποτιθέμενος, ἀλλ' ὅτι μὲν
οὖν ἀνάγκη μεταβάλλειν εἰς ἄλληλα πάντα, διότι καὶ πάντα ἐναντίωσιν
ἔχει πρὸς ἄλληλα δέδεικται πρότερον, καὶ ὅτι οὐχ ὁμοίως ταχέως ἄλ-
λο ἐξ ἄλλου, εἴρηται πρότερον, καὶ ὅτι τὰ μὲν ἔχοντα κοινωνίαν κατά
τινα ποιότητα ῥᾶον γίγνεται καὶ θᾶττον ἐξ ἀλλήλων, τὰ δὲ οὐκ ἔχον-
τα βραδύτερον καὶ χαλεπώτερον. Ἔτι δὲ ὅτι ἀνάγκη τέσαρα εἶναι τὰ
ἁπλᾶ σώματα, ὅτι καὶ αἱ ἐναντιώσεις καθ' ἃς ἡ εἰς ἄλληλα μεταβο-
λὴ δύω, ἡ μὲν τοῦ θερμοῦ καὶ ψυχροῦ, ἡ δὲ τοῦ ξηροῦ καὶ ὑγροῦ. εἰ μὲν
γὰρ ἡ ἐναντιότης μία ἐστὶ, καθ' ἣν εἰς ἄλληλα μεταβάλλουσι τὰ σοι-
χεῖα, ταῦτα ὑπάρχειν ἀνάγκη δύω ἑκάτερον θάτερον ἔχον μόριον τῆς
ἐναντιώσεως, οἷον τὸ μὲν θερμὸν, τὸ δὲ ψυχρόν. ἡ γὰρ ὑποκειμένη
ὕλη μέσον τί ἐστι παρὰ μέρος τὸ ἕτερον δεχομένη τῶν ἐναντίων, καὶ φα-
νερὸν ὅτι οὐκ ἔσι τρίτον σῶμα, πᾶν γὰρ σῶμα αἰσθητόν τε καὶ καθ'
ἑαυτὸ ὑφεστὼς, ἡ δὲ ὕλη ἀναίσθητός τε ἐστὶ καὶ ἀχώριστος, ἀλλὰ μὴν πλείω
ὁρᾶται ὄντα τὰ ἐναντία, καὶ μαρτυρεῖται ταῖς αἰσθήσεσι, δύω ἄρα ἔ-
σονται τοὐλάχισον αἱ πρῶται ἐναντιώσεις, τοῖν δυοῖν γὰρ πλειόνων
ὄντων τῶν ἐναντίων τοῖν δυοῖν ἐλάττους οὐκ ἐνδέχεται εἶναι τὰς ἐναντιώ-

σεις,

ΙΩΑΝΝΙΝΑ 2006

σεις, δύω δὲ οὐσῶν οὐχ οἷόν τε τρία εἶναι τὰ στοιχεῖα, ἀλλὰ τέσσαρα ὥσπερ καὶ φαίνεται. ἐπειδὴ γὰρ ἀναλογιζόμενοι τὰς τῶν ἐναντίων συζυγίας ἓξ οὔσας τὰς δύω εὑρίσκομεν ἀδυνάτους διὰ τὸ πάντως ἀλλήλαις ἐναντίως ὑπάρχειν, λείπεται τὰς τέσσαρας δυνατὰς εἶναι κατὰ λόγον τοῖς τέσσαρσι σώμασι. περὶ μὲν οὖν τούτων εἴρηται πρότερον, ὅτι δὲ ἐπειδὴ μεταβάλλουσιν εἰς ἄλληλα πάντα, ἀδύνατον ἐστὶ τούτων ἀρχὴν εἶναι τῶν ἄλλων, δείκνυται. ἵνα δῆλον γένηται καὶ τὸ ἕτερον τῆς διαιρέσεως μέρος, ὅπερ ἦν, ὅτι ἀδύνατον ἐστὶ τῶν τεττάρων ἀρχὴν εἶναι τῶν ἄλλων μεταβλητικὸν ὑπάρχον, καὶ μὴ ὑπομένον τὸ αὐτό, δέδεικται γὰρ ἱκανῶς ὅτι ἐστὶ τῶν τεσσάρων ἀμετάβλητον ὂν οὐκ ἐνδέχεται ἐν ὕλης εἶναι τάξει, εἰ μὲν οὖν ἐστὶ τῶν τεσσάρων ἀρχὴ ὥστε τοῖς λοιποῖς μεταβάλλον εἰς αὐτά, ἢ τῶν ἄκρων ἕτερον, οἷον πυρὸς καὶ γῆς, ἢ τῶν μέσων ἔσται, οἷον ἀέρος καὶ ὕδατος, ἀλλὰ μὴν οὔτε τῶν ἄκρων ἐνδέχεται, οὔτε τῶν μέσων ὡς δείκνυται, εἰ γὰρ πῦρ ἢ γῆ ὑποτίθεται, τὰ πάντα πῦρ ἢ γῆ ἔσται. δεῖ γὰρ τοῦθ' ὁμολογεῖν τὸν λέγοντα ἐκ πυρὸς ἢ ἐκ γῆς εἶναι πάντα. ὥστε ὁ αὐτὸς ἔσται λόγος πῦρ ἢ γῆν λέγειν πάντα τῷ φάναι ἐκ πυρὸς ἢ ἐκ γῆς πάντα, εἰ μὲν γὰρ τὸ πῦρ, ἤτοι ἡ γῆ πᾶσαν μεθίστησι τὴν φύσιν ἀὴρ ἢ ὕδωρ γενόμενον, οὐκ ἐκ πυρὸς ἢ ἐκ γῆς ἔσται ὁ ἀὴρ ἢ τὸ ὕδωρ, ἀλλὰ μᾶλλον ἐξ οὐ ὑπομένοντος γίγνεται. μάλιστ' ἐπειδὴ χρὴ τὰς ἀρχὰς ἀεὶ μένειν, εἰ δὲ μὴ πᾶσαν ἀμείβει τὴν φύσιν οὐδὲ τελέως μεθίσταται, ἀλλὰ κατά τινα διαφορὰν, σώζει γε ὅμως τὴν τοῦ πυρὸς ἢ γῆς προσηγορίαν, φανερὸν ὅτι πάντα πῦρ ἢ γῆ ἔσται, ὅτι δὲ οὐδὲ τῶν μέσων τὸ ἕτερον ἐν ἀρχῆς λόγῳ δύναται παραλαμβάνεσθαι ὥσπερ δοκεῖ τισι τὸν ἀέρα ἢ τὸ ὕδωρ ἀρχὴν ὑποθεμένοις, ὅτι τὸ μὲν εἰς ἀέρα, καὶ εἰς γῆν μεταβάλλει, τὸ δὲ εἰς ὕδωρ καὶ πῦρ, τὰ δὲ ἔσχατα οὐκ ἔτι εἰς ἄλληλα, φανερὸν, ἐκείνου γε πρῶτον ὑποτεθέντος, ὅτι οὐ δεῖ ἐπ' εὐθείας εἰς ἄπειρον ἰέναι ἐφ' ἑκάτερα, ἀλλὰ δεῖ στῆναι ἐν ὡρισμένοις τισὶν ἐσχάτοις, εἰ γὰρ ἐπ' ἄπειρον ἔσται πρόοδος, ἄπειροι ἂν εἶεν ἐπὶ τοῦ ἑνὸς αἱ ἐναντιότητες. ὃ δειχθήσεται κατωτέρω. ἔστω τοιγαροῦν γῆ ἐφ' ᾧ γ, ὕδωρ δὲ ἐφ' ᾧ υ, ἀὴρ δὲ ἐφ' ᾧ α, πῦρ δὲ ἐφ' ᾧ π, τῶν γραμμάτων τούτων σημαινόντων τὰ στοιχεῖα ὡς ἀρκτικῶν ὄντων αὐτῶν. εἰ δὴ τὸ α οἷον ἀὴρ μεταβάλλει εἰς τὸ π καὶ υ, δηλονότι πῦρ καὶ ὕδωρ ἐξ ἀνάγκης ἔσται τις ἐναντιότης τῶν α καὶ π. ἔστω τοίνυν μέρη τῆς ἐναντιώσεως λευκότης καὶ μελανία. πάλιν ἐπειδὴ τὸ α μεταβάλλει εἰς τὸ υ ἔσται καὶ τῶν α καὶ υ, ἄλλη τις ἐναντίωσις. εἰ γὰρ καθ' ἣν ἐναντίωσιν διαφέρει τὸ α τοῦ π, διοίσει καὶ τοῦ υ. φανερὸν ὅτι τὸ υ οὐ διοίσει τοῦ π, ἀλλ' ἔσται τὸ αὐτό, ὡς ἅτε δὴ τὸ ἕτερον κεκληρωκότα μέρος τῆς ἐναντιώσεως. ἔστω δὲ συζυγία

τῆς ἐναντιώσεως ταύτης, ξηρότης καὶ ὑγρότης, καὶ τὸ μὲν ξ ἔστω σημεῖον ξηρότητος γράμμα τῆς λέξεως ταύτης ἀρκτικὸν ὄν, ὥσπερ τὸ ῡ, ὑγρότητος, ὁ μὲν οὖν ἀὴρ ἀντικείσθω τῷ πυρὶ ὡς μέλανι λευκὸν, τῷ δὲ ὕδατι ὡς ὑγρῷ ξηρὸν, τοιγαροῦν κατὰ τὴν ὑγροῦ καὶ ξηροῦ ἐναντίωσιν μεταβαλλέτω ὁ ἀὴρ εἰς ὕδωρ, ἐπεὶ ἐκ τῶν ἐναντίων ἡ μεταβολὴ πέφυκε γίνεσθαι, καὶ μενέτω τὸ λευκὸν ἐν ἀμφοτέροις, δύναται γὰρ ἐπεὶ μὴ κατὰ τὴν τούτου συζυγίαν ἡ μεταβολὴ γέγονεν. ἔσται οὖν ὁ μὲν ἀὴρ λευκὸς καὶ ξηρὸν, τὸ δὲ ὕδωρ λευκὸν καὶ ὑγρόν. εἰ γὰρ μὴ μένει τὸ λευκὸν ἔσται μέλαν τὸ ὕδωρ, ἡ γὰρ μεταβολὴ εἰς τὰ ἐναντία ἐστὶν, ἀνάγκη ἄρα ἢ λευκὸν ἢ μέλαν εἶναι τὸ ὕδωρ. ἔστω δὲ τὸ πρῶτον δηλονότι τὸ λευκὸν, τὸ γὰρ μέλαν ἀποκεκλήρωται τῷ πυρὶ, ἐπειδὴ τοίνυν τῷ ὕδατι πρὸς τὸ πῦρ ἐστὶν ἐναντιότης κατὰ λευκότητα καὶ μελανίαν, ἀνάγκη ταῦτα τὰ δύω μεταβάλλειν εἰς ἄλληλα, τὰ γὰρ ἐναντίωσιν ἔχοντα εἰς ἄλληλα πέφυκε μεθίστασθαι. Ἔτι δὲ ὁμοίως μεταβαλλέτω εἰς πῦρ ὁ ἀὴρ κατὰ τὸ λευκὸν καὶ τὸ μέλαν, ὥστε ἐκ λευκοῦ γίνεσθαι τὸ πῦρ μέλαν, μενούσης τῆς ξηρότητος, οὐ γὰρ κατὰ τὴν τῆς ξηρότητος καὶ ὑγρότητος ἀντίθεσιν ἡ μεταβολὴ τούτων, ἔσται ἄρα τῷ πυρὶ ἐναντιότης πρὸς τὸ ὕδωρ, ὥστε δύνασθαι μεταβάλλειν εἰς ἄλληλα, καὶ γὰρ ἡ μεταβολὴ τῶν ἐχόντων ἐστὶν ἐναντίωσις, τὸ μὲν γὰρ πῦρ καθ' ἑαυτὸ ὑπέκειτο μέλαν, ξηρὸν δὲ διὰ τὸ μένειν τοῦτο ἐν τῇ τοῦ ἀέρος μεταβολῇ, τὸ δὲ ὕδωρ ὑγρὸν ἔπειτα δὲ λευκὸν, ὥστε εἰς ἄλληλα ἐνδέχεσθαι μεταβάλλειν ἐναντίωσιν ἔχοντα. Ἔτι δὲ ἐπειδὴ ἐνδέχεται τὸ πῦρ μεταβάλλειν κατὰ τὸ ξηρὸν μένοντος τοῦ μέλανος, ἔσται τὸ γεγονός τι μέλαν, καὶ ὑγρὸν, καὶ τοῦτο γῆ ἔστω, ἢ ὑπάρξει τὸ μέλαν, καὶ τὸ ὑγρὸν, ταῦτα γὰρ οὐ συνδεδύνασθαί πως κατὰ τὰς εἰρημένας ἐξ ἀέρος εἰς ὕδωρ, ἢ ἐξ ὕδατος εἰς πῦρ μεταβολὰς, φανερὸν γὰρ ὅτι πᾶσιν ἐξ ἀλλήλων ἡ μεταβολὴ, ὥστε καὶ ἐπὶ γῆς καὶ πυρὸς εἰ μένει τὸ μέλαν, μεταβάλλει δὲ τὸ ξηρὸν εἰς ὑγρόν. ἐπειδὴ γοῦν ποτὲ μέσα εἰς τὰ ἔσχατα, καὶ τὰ ἔσχατα εἰς τὰ μέσα μεταβάλλει, καὶ ὁτιοῦν εἰς ὁτιοῦν οὐδὲν τῶν τεττάρων ἀρχὴν εἰκός ἐστι λέγειν τῶν ἄλλων μᾶλλον, ἢ ἕτερον. ἐπειδὴ δ' ἀνωτέρω ὑπέκειτο, ὅτι δεῖ δύω τινὰ εἶναι τὰ ἔσχατα ὡς οὐχ οἷόν τε εἰς ἄπειρον ἰέναι, ὅπερ δείξειν ἐμελλήσαμεν ἐπὶ τοῦτο ἔμπροσθεν ἐλθόντες, νῦν ἀποδείξωμεν, εἰδὴ γὰρ τὸ πῦρ μὴ ἔσχατον ᾖ, οὐδ' ἀνακάμπτει οἷον εἰς ἀέρα μεταβάλλον, ἢ γῆν, ἀλλ' εἰς ἕτερον ἀνωτέρω παρὰ ταῦτα οἷον τὸ ψ. ἀνάγκη παρὰ τὰς εἰρημένας δύω ἐναντιώσεις ἑτέραν τρίτην ὑποτίθεσθαι, καθ' ἣν διαστήσεται τὸ π τοῦ ψ. τὸ γὰρ ψ ἕτερον ὂν τῶν τεττάρων στοιχείων οὐ δυνατόν ἐστι κατά τι μόριον τῶν εἰρημένων ἀντιθέσεων ἀντικεῖσθαι τῷ πυρὶ, διοίσει ἄρα τὸ ψ τοῦ π. ὅτι

τῷ

ΙΩΑΝΝΙΝΑ 2006

τοῦ μὲν π̄, ὑπάρχει τὸ, κ̄ οἷον τὸ καλὸν, τοῦ δὲ ψ̄ τὸ φ̄, οἷον τὸ φαῦλον. ἕπεται ἄρα ὅτι τὸ κ̄ πᾶσιν ὑπάρχειν τοῖς ὑπὸ τὸ π̄, καθ' ἣν γὰρ ποιότητα οὐ μεταβάλλει εἰς ἄλληλα τὰ στοιχεῖα καὶ ταύτην σύμβολον ἔχει πρὸς ἄλληλα, ἀλλὰ μὴν καὶ τὸ κ̄ οὐδὲν μετέβαλεν εἰς ἄλληλα τῶν στοιχείων, καὶ γὰρ οὐδὲν τῶν πρὸ τοῦ π̄ στοιχείων οὐδὲν τοῦ π̄ διενήνοχε καὶ τὸ κ̄, καθ' ἣν δὲ ποιότητα οὐ διαφέρει τὰ στοιχεῖα οὐδὲ μεταβολὴν ποιεῖ, ἀλλὰ σύμβολον ἔχει τὸ κ̄ πρὸς τὸ π̄ τὰ πρὸ τοῦ π̄ σώματα. ἐπεὶ τοιγαροῦν ἡ ποιότης καθ' ἣν κεκοινώνηκε τὰ στοιχεῖα μένει ἡ αὐτὴ, μεταβαλλόντων τούτων εἰς ἄλληλα, φανερόν ἐστιν ὅτι τὰ στοιχεῖα μεταβάλλονται πάντα εἰς ἄλληλα, ὡς δειχθήσεται, νῦν δὲ ὑποτίθεται ἕξει τὸ κ̄, καὶ πάλιν ὑπάρξειν φαμὲν τὸ κ̄ πᾶσι τοῖς γ̄, ῡ, ᾱ, π̄, διὰ τὸ μεταβάλλειν εἰς ἄλληλα καὶ εἰς αὐτὸ δὲ τὸ ψ̄, εἰ γὰρ ὁτιοῦν τῶν γ̄, ῡ, ᾱ, π̄, μεταβλητόν ἐστιν εἰς τὸ ψ̄, ἐπειδὴ καὶ ἀντίθεσίν τινα ἡ μεταβολὴ γίγνεται ἕξει ὁτιοῦν τῶν εἰς τὸ ψ̄, μεταβλητῶν θάτερον μέρος τῆς ἐναντιώσεως, τοῦτο δὲ ἦν τὸ κ̄. ἀλλ' ἐκεῖνο ἔτι δῆλον ὅτι εἰ τὸ ψ̄ οὐκ ἀνακάμπτει εἰς τὸ π̄, ἀλλ' εἰς ἄλλο, ἔσται τις ἄλλη ἐναντιότης, ἧς θάτερον μὲν μέλλον ὑπάρξει τοῦ ὑπὲρ τοῦ ψ̄, θάτερον δὲ τοῦ ψ̄, καὶ τοῖς ὑπ' αὐτὸ πᾶσι. κατὰ τοῦτο γὰρ συμβολά εἰσι, καὶ οὐ διαφέρουσιν. Ἐπειδὴ τοιγαροῦν ἀεὶ προστιθεμένου τινὸς, ἐναντιότης τις ὑπάρξει τοῖς ἔμπροσθεν, εἰ εἰς ἄπειρον ἡ πρόοδος, καὶ ἐναντιότητες ἄπειροι τοῦ ἑνὶ ὑπάρξουσι, τούτου δὲ οὕτως ὄντος μυρία ἕψεται ἄτοπα. Πρῶτον μὲν ὅτι οὐκ ἔστιν ὁρισμὸν ἀποδοῦναι οὐδενὸς, τὸ γὰρ ἄπειρον οὔτε ἐπιστητόν ἐστιν, οὔτε ὁριστόν. Δεύτερον ὅτι οὔτε γενέσθαι τί ἐνδέχεται, δεήσει γὰρ ἄλλο ἐξ ἄλλου γινόμενον τοσαύτας διελθεῖν ἐναντιότητας, καὶ ἔτι πλείους, καὶ πλείους ἐν ἑνὶ ὑπαρχούσας, ὥστε οὐδέποτε ἀφικέσθαι πρὸς τὸ τέλος, ἀεὶ τῶν διεξοδευομένων ἐλαττόνων οὐσῶν, ἢ ὥσπερ ἐς τοῦ πιὸν μέλλει διελθεῖν, τὸ γὰρ ἄπειρον ἀδιεξίτητόν ἐστι. Τρίτον ὅτι εἰς τὰ ἔσχατα οὐδέποτε ἔσται μεταβολὴ, οὐδὲ τοῦ λόγῳ τῶν ἀπείρων ἐναντιώσεων ὡς εἴρηται, οὐδὲ τοῦ λόγῳ τῶν στοιχείων. ταῦτα γὰρ μεταξὺ τιθέμενα καὶ ἄπειρα ὄντα οὐκ ἐάσουσιν εἰς τὸ ἔσχατον ἀφικέσθαι τὸ μεταβάλλειν. Ἔτι δὲ Τέταρτον ὃ καὶ ταῖς αἰσθήσεσι μάχεται ἕψεται μὴ μεταβολὴν εἶναι ἐξ ἀέρος εἰς πῦρ, οὐδὲ ἐκ πυρὸς εἰς ἀέρα, ἀπείρους γὰρ ἐναντιότητας ἑκάστῳ τούτων ὑπάρχειν ἀνάγκη, τὰ δὲ ἄπειρα οὐκ ἔστι διεξιέναι οὐδὲ τὸν ἅπαντα χρόνον. Τελευταῖον τὰ πάντα ἓν γίνεται στοιχεῖον, ἀνάγκη γὰρ πάσας τὰς ἐναντιότητας ὑπάρχειν ἑνὶ, τοῖς μὲν γὰρ κάτω τοῦ π̄ οἷον τοῦ ᾱ ὑπάρξει αἱ τῶν ἄνωθεν ἅπασαι, τοῖς δὲ οἷον τοῖς ὑπὲρ τὸ ᾱ αἱ τῶν κάτωθεν, ὥστε τὰ στοιχεῖα πάντα ἀλλήλοις ἔσται τὰ αὐτὰ, ὥστε οὐδὲ γενέσθαι ἐξ ἀλλήλων, ἡ γὰρ μεταβολὴ, εἰς τἀναντία, ἀλλ' οὐκ εἰς τὰ αὐτά.



ΙΩΑΝΝΙΝΑ 2006

## Ἀπορίαι.

Θαυμάσειε δ᾽ ἄν τις εἰκότως τίνι τρόπῳ τοῖς πάλαι τὸ πῦρ ἢ ὁ ἀὴρ ἢ ἄλλο τι τοιοῦτον μεταβλητὸν ὂν ἐν ὑλικῆς ἀρχῆς λόγῳ παρείληπται, ἢ ὡς ὑπάρχοντος πρώτου ἐξ οὗ γίγνεται τἄλλα, καὶ εἰς ὃ ἀναλυόμενα καταντᾷ, τούτου εἰς οὐδὲν ἕτερον ἀνατρέχοντος, οἷον τὸ πῦρ ἀρχὴ λέγεται τῶν ἄλλων, ὅ,τε γὰρ ἀὴρ ἐκ πυρὸς γίγνεται, καὶ εἰς πῦρ ἀναλύεται, τό,τε ὕδωρ ὡσαύτως καὶ ἡ γῆ, ὥστε ἐπειδὴ κατὰ τὴν τῆς γενέσεως τάξιν ἡγεῖται πάντων τὸ πῦρ, ὡς ἀρχὴν ἐτίμων αὐτό, ἤτι ἕτερον τῶν στοιχείων κατὰ τὴν εἰκοίαν ἕκαστος φαντασίαν, θαυμαστὸν ὅμως πῶς οὐ τὸ ὑπομένον ὑπὸ τὸν Ἀέρα, καὶ τὸ Ὕδωρ, καὶ τὴν Γῆν, καὶ τὸ Πῦρ, ἀρχὴν ἐνόμιζον, ἀλλ᾽ αὐτὶ τούτων καίτοι μὴ διαμένον τὸ αὐτό, ἢ ὅτι ὡς λέλεκται οὐ πᾶσαν ᾤοντο μεθίστασθαι τὴν φύσιν τοῦ ὡς ἀρχῆς εἰλημμένου στοιχείου, τῶν δὲ λοιπῶν τελέαν ἐβούλοντο τὴν μεταστοιχείωσιν ἐν ταῖς μεταβολαῖς. ὅθεν ὀρθῶς ἐπήνεγκεν ὁ Φιλόσοφος ὅτι ἕπεται τοῖς οὕτως λέγουσι πῦρ ἢ γῆν εἶναι πάντα. Ἀπορεῖται δεύτερον τίνος ἕνεκεν ὀρθῶς μὲν ἡμεῖς ἐξ ὕλης γινῶντες ἅπαντα κατὰ ταὐτὰ τὸ ὑποκείμενον ταὐτά φαμεν. οἱ δὲ πάλαι οὐκ ὀρθῶς ἂν λέγοιεν ταὐτὰ πάντα τῷ πυρί, καίτοι ἐκ πυρὸς ἅπαντα ποιοῦντες; ἢ ὅτι ἡ καθ᾽ ἡμᾶς ὕλη ἀνείδεός ἐστι, καὶ οὐδεμία ἐνέργεια, ὅθεν οὐδὲ κατηγορεῖται κατ᾽ ὀρθὴν πτῶσιν κατὰ τῶν ἐξ αὐτῆς. οὐ γὰρ ὕλη λέγεται πάντα, τὸ γὰρ καθ᾽ ἑτέρου κατηγορούμενον ὡς ὅλον τί ἐστι, καὶ ἐνέργειά ἐστιν, εἰ δὲ ἐκ πυρὸς ἢ γῆς γίγνοιτο τ᾽ ἄλλα, ἐπειδὴ τὸ πῦρ χωριστόν ἐστιν ἐνέργεια καὶ καθ᾽ ἑαυτὸ ὑφεστηκὸς σῶμα οὐδὲν ἂν κωλύσοι κατηγορεῖσθαι κατὰ τῶν ἐξ αὐτοῦ, καὶ ταῦτα μὴ πᾶσαν ἐλαττοῦν τὴν ἑαυτοῦ φύσιν. Ἀπορεῖται τρίτον τίνι τρόπῳ ὁ Φιλόσοφος ἀπείρους ἐναντιότητας ὑπάρξειν τισί φησιν, οὐ γὰρ οὕτω δοκεῖ συμπεραίνειν ὁ λόγος; εἴποι γὰρ ἄν τις, ὅτι οὐ δεῖ τὰς ἐναντιότητας πολυπλασιάζειν, ἀλλὰ μᾶλλον τὰς τούτων συζυγίας, οἷον ἔστω τὸ μὲν πῦρ ξηρόν, μέλαν, καὶ γλυκὺ διαφέρον ἀέρος ξηροῦ καὶ μέλανος καὶ πικροῦ τυγχάνοντος. εἰ τοίνυν παρὰ ταῦτα ἕτερον προστεθῇ σῶμα οὐχ ἑτέραν ἀνάγκη προσπλάττειν ἐναντιότητα, ἀλλ᾽ ἀπόχρη λέγειν τὸν ἀέρα, ψυχρὸν ὄντα μέλανα καὶ πικρὸν διαφέρειν τοῦ προστιθεμένου ξηροῦ λευκοῦ καὶ πικροῦ τυγχάνοντος. ὥστε πλειόνων οὐσῶν ἀλλ᾽ οὐκ ἀπείρων τῶν ἐναντιοτήτων πλείους καὶ ἔτι πλείους ἐνδέχεσθαι συζεύξεις γενέσθαι. ἀλλ᾽ οὐδὲν ἧττον ἀστεῖόν ἐστι τὸ λεγόμενον, ἐκ πεπερασμένων γὰρ ποιοτήτων πλείους μὲν ἀλλ᾽ οὐκ ἀπείρους ἐνδέχεται γενέσθαι συζυγίας, εἰ δὲ ἄπειροι αἱ ποιότητες διὰ συντομίαν ὁ Φιλόσοφος

πα-

ΙΩΑΝΝΙΝΑ 2006

παρεάσας τὰς συζεύξεις ἄλλῳ, καὶ ἄλλῳ προςίθησιν ἐναντιότητα. Ἀπορεῖται τελευταῖον πῶς φησιν ὁ Φιλόσοφος πάντα ἐν γίνεσθαι, οὐ γὰρ δοκοῦσι πᾶσαι αἱ ἐναντιότητες πᾶσι προσεῖναι, οὐ γὰρ ἡ ἐν τῷ ἀέρι ἐναντιότης πρόσεστι τοῖς ἀνωτέρω, ἀλλ᾿ αἱ τῶν ἀνωτέρω τούτῳ. ἢ ὅτι ἐφ᾿ ἑκάτερα γινομένης τῆς προόδου ἀφ᾿ ὁτουοῦν τῶν μεταξὺ ἐν ὁπωσοῦν ἔσονται πᾶσαι. ἢ ὅτι τὰς τῶν ἀνωτέρω ἐναντιότητας ἐν τοῖς κάτωθεν συλλέξας ὁ Φιλόσοφος καὶ τὰς τῶν κατωτέρω ἐν τοῖς ἄνωθεν πάντα λέγειν ἐν γενέσθαι ὡσανεὶ μὴ δέοι ἄπειρα τιθέναι τὰ στοιχεῖα εἰς μίαν συζυγίαν συνιόντων ἁπάντων κατὰ τὰς ἐναντιότητας, ὥστε τὰ δύω δεῖν μᾶλλον τιθέναι ἢ τὰ πάντα. Ἐπειδὴ τοιγαροῦν ὡς δέδεικται οὐκ ἔστιν ἐπ᾿ ἀληθείας ἰέναι ἐφ᾿ ἑκάτερα, ἀλλὰ δεῖ ἔν τισιν ὡρισμένοις στῆναι. φανερὸν ὅτι τά, τε ἔσχατα μεταβάλλει εἰς τὰ μέσα, καὶ τὰ μέσα εἰς τὰ ἔσχατα ὁμοτίμως, ὥστε μηδὲν τούτων προτετάχθαι ἐν τῇ τάξει τῆς γενέσεως, καὶ λοιπὸν ἑνὶ λόγῳ καθόλου δέδεικται, ὅτι οὐδὲν τῶν στοιχείων ἀρχή ἐστι τῶν ἄλλων.

## ΚΕΦΑΛΑΙΟΝ, ΕΚΤΟΝ.

### Ἔλεγχος τῶν λεγόντων τὰ στοιχεῖα μὴ μεταβάλλειν εἰς ἄλληλα.

Ἐξελέγξασιν οὖν ἱκανῶς πάντα τὰ τῆς ἀνωτέρω διαιρέσεως μέρη, ὅτι δηλονότι οὔτε ἓν τῶν τεττάρων στοιχείων ἀρχὴ τῶν ἄλλων εἶναι ἐνδέχεται. εἴτε ἐσόμενον, οὔτε μή. Ἔτι δὲ ἀναιρήσασιν ὅτι οὐδὲ δύω τούτων εἴτε μέσα εἰσίν, εἴτε ἔσχατα ὕλη δύναται γίνεσθαι, καὶ δείξασι πρὸς τούτοις ὅτι οὐδὲ παρὰ τὰ τέτταρα ἐστί τι πρῶτον στοιχεῖον τῶν ἄλλων, πρόκειται νῦν θεωρῆσαι, πότερον πάντα τὰ στοιχεῖα ἐν ὕλης τάξει δύναται παραλαμβάνεσθαι, καὶ εἰ ὡς ἀμετάβλητα, εἰ ὡς μεταβλητά, εἰ γὰρ ἡμῖν σαφῶς δειχθήσεται ὅτι ἄτοπόν ἐστιν ἀμετάβλητα τιθέναι τὰ στοιχεῖα τὸ λοιπὸν ὁμολογηθήσεται, ὅτι ὡς μεταβλητικὰ ἐν ὕλης ὑπάρχουσι τάξει, καίτοι μὴ τῆς πρώτης, τοιαύτη γάρ ἐστιν ἐξ ἧς ταῦτα συγκείμενα πέφυκε μεταβάλλειν εἰς ἄλληλα. ἐπειδὴ δὲ τῶν ἀμετάβλητα τὰ στοιχεῖα λεγόντων καὶ ἀρχάς, Ἐμπεδοκλῆς προΐσταται, μάλιστα καὶ τούτου τὸν λόγον ἀποτείνωμεν. καὶ Πρῶτον μὲν εἰκός ἐστι θαυμάσαι τῶν ἑνὸς μὲν πλείω τὰ στοιχεῖα τῶν σωμάτων ποιούντων, ἀμετάβλητα δ᾿ ὅμως πῶς ἑαυτοὺς λελήθασιν ἀσύμφωνα διδάσκοντες; ἀμετάβλητα γὰρ

ταῦ-

ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα τίθησιν Ἐμπεδοκλῆς, καὶ συμβλητά. λέγει γὰρ οὕτω, ταῦτα γὰρ δηλαδὴ τὰ στοιχεῖα ἶσα πάντα. μάχεται δὲ τῷ συμβλητὰ λέγεσθαι τὸ φάσκειν ἀμετάβλητα τὰ στοιχεῖα, οὐ γὰρ ἐνδέχεται τὸ ἀμετάβλητον συμβλητὸν ὑπάρχειν, ἀλλ' εἰ συμβλητόν ἐστί τι τοῦτο καὶ μεταβλητικόν. εἰ δ' ἀμετάβλητον, οὐδὲ συμβλητόν, ὃ καὶ φανερὸν ἔσται σκοποῦσι τοὺς τρόπους, καθ' οὓς ἐνδέχεταί τινα ἀλλήλοις συμβάλλεσθαι, ἢ γὰρ κατὰ ποσότητα συμβάλλονται, ἢ κατὰ τὰς δυνάμεις, καὶ κατὰ ταύτας διχῶς, ἢ κατὰ ἀναλογίαν, καὶ κατὰ δυνάμεις ἑτερογενεῖς, ἢ κατὰ τὸ μᾶλλον καὶ ἧττον καὶ κατὰ δυνάμεις ὁμογενεῖς. κατὰ μὲν οὖν τὸ ποσὸν ἀδύνατόν ἐστι τινὰ συμβάλλεσθαι ἀμετάβλητα ὑπάρχοντα. ἀνάγκη γὰρ τοῖς κατὰ τὸ ποσὸν συμβλητοῖς ἅπασι ταὐτό τι εἶναι ὑπάρχον ᾧ μετροῦνται. εἰ δὲ τούτοις ὑπάρχει τί κοινὸν ὃ τὸ αὐτὸ ἀραιούμενον καὶ πυκνούμενον ἶσα ποιεῖ τὰ ἐκ τούτου γινόμενα, φανερόν ἐστιν ὅτι τὰ στοιχεῖα ὧδε συμβλητὰ ὄντα ἔσται εἰς ἄλληλα μεταβλητικὰ διὰ τὸ κοινόν τι ὑποκεῖσθαι αὐτοῖς. οἷον παραδείγματος λόγῳ, εἰ τὸ ὕδωρ ἶσον λέγεται τῷ ἀέρι ἐπειδὴ ταῦτα οὐκ εἰσὶν ἶσα κατὰ τὸ ποσὸν ὡς ἰσομεγέθη, ἀντιμαρτυροῦσι γὰρ αἱ αἰσθήσεις, ἶσα λέγοιντ' ἂν κατὰ τὸ ποσόν, ὅτι κοτύλη ὕδατος δέκα περιέχει κοτύλας ἀέρος, ὥστε τὴν ἴσην ὕλην ταῖς τε δέκα τοῦ ἀέρος ὑποκεῖσθαι κοτύλαις ἐκταθείσαις, καὶ τῇ μιᾷ τοῦ ὕδατος συσταλλομένην. εἰ δὲ τοῦθ' οὕτως ἔχει, φανερὸν ὅτι ἐξ ὕδατος κοτύλης ἐνδέχεται γενέσθαι δέκα κοτύλας ἀέρος, ὥστε τὸ ὕδωρ μεταβλητὸν εἶναι εἰς ἀέρα διὰ τὸ ἄμφω ἔχειν τὸ αὐτό, εἰ μετρεῖται τῷ αὐτῷ. εἰ δὲ μὴ οὕτω συμβλητὰ λέγεται τὰ στοιχεῖα κατὰ τὸ ποσόν, ὥστε ἐκ τοσούτου ποσοῦ μανουμένου ἢ πυκνουμένου γενέσθαι τοσοῦτον, ἀλλ' ὅτι ὅσον δύναται οἷον κοτύλη ὕδατος ἶσον δύναται ψύχειν καὶ δέκα ἀέρος, ἕπεται μὴ κατὰ τὸ ποσὸν συμβλητὰ εἶναι καθ' ἑαυτό, ἀλλὰ κατὰ συμβεβηκὸς ᾗ τὸ τοσόνδε ἔτυχεν δύνασθαι ἶσον τῷ τοσῷδε, ὥστε οὐκ ὀρθῶς λέγεται τῷ τοῦ ποσοῦ μέτρῳ συμβάλλεσθαι τὰς δυνάμεις, ἀλλὰ μᾶλλον δεῖ τὴν συμβολὴν λέγειν εἶναι κατὰ ἀναλογίαν, οἷον ὡς ὑπάρχει τόδε θερμόν, ἔστι τόδε λευκόν. ἐπειδὴ δὲ τὸ ὡς τόδε ἐν μὲν τῷ ποιῷ σημαίνει τὸ ὅμοιον, ἐν δὲ τῷ ποσῷ τὸ ἶσον, τὰ στοιχεῖα οὐκ ἶσα δέοι ἂν εἰπεῖν, ἀλλ' ὅμοια, εἰ κατὰ ἀναλογίαν εἰσὶ συμβλητά. ἀλλὰ λέγοιντ' ἂν μᾶλλον συμβλητὰ καθ' ὁμοιότητα, καὶ κατὰ τὰς ἑτερογενεῖς δυνάμεις, καίτοι κατὰ τουτονὶ τὸν τρόπον παραβαλλόμενα τὰ στοιχεῖα οὐδὲν κωλύει σώζεσθαι ἀμετάβλητα. εἰ δὲ μὴ κατὰ ἀναλογίαν, ἀλλὰ μέτρῳ τῶν δυνάμεων συμβάλλεται, καὶ κατὰ τοῦτον τὸν τρόπον ὅμοια μὲν λέγεται, ἀλλ' οὐκ ἶσα. ὅμως ἕπεται ὅτι μεταβλητά εἰσιν. εἰ γὰρ οἷον τὸ ἑστιαῖον πῦρ ἶσον ἢ ὅμοιον θερμὸν ἴσχει, καὶ ὁ δεκαπλάσιος ἀὴρ κατὰ τὴν αὐτὴν δύ-

ναμιν τῆς συγκείσεως γινομένης ἄτοπον δὴ φαίνεται μὴ μεταβλητὰ φάναι τὰ σώματα, τὰ γὰρ τὴν αὐτὴν ἔχοντα δύναμιν καὶ ποιότητα, καὶ διαφέροντα κατ' ἐπίτασιν καὶ ἄνεσιν μεταβλητικά εἰσιν εἰς ἄλληλα. τὸ γὰρ πλεῖον διὰ τὸ ὁμογενὲς εἶναι τῷ ἥττονι τοιοῦτον ἔχει λόγον, ὥστε δύνασθαι τὸ μὲν πλεῖον ἔλαττον γενέσθαι ἀνιέμενον, τὸ δὲ ἔλαττον πλεῖον ἐπιτεινόμενον. ἐκ τῶνδε δὴ φανερὸν ὅτι καὶ τὴν αὐτὴν ἕξει ὕλην. μιᾶς γὰρ ποιότητος ἕν ἐστι τὸ ὑποκείμενον, τὸ γὰρ μᾶλλον καὶ ἧττον ἐπὶ τῆς αὐτῆς ποιότητος τῷ λόγῳ τῆς ἐν τῷ ὑποκειμένῳ μεθέξεως λέγεται. εἰ δὲ τὸ ὑποκείμενον ἕν, τίνος ἕνεκεν οὐ μεταβάλλει ἐκ μὲν τοῦ πλείονος εἰς ἔλαττον, ἐκ δὲ τοῦ ἐλάττονος εἰς πλεῖον, ὥστε εἰ συμβλητὰ μέν εἰσι τὰ στοιχεῖα κατὰ τὸ ποσὸν ἔσται καὶ μεταβλητικὰ εἰς ἄλληλα, εἰ δὲ κατὰ τὰς ἑτερογενεῖς δυνάμεις οὐ συμβλητὰ κατ' ἰσότητα ὡς λέγεται, ἀλλὰ κατὰ ἀναλογίαν, καὶ ὅμοια, εἰ δὲ κατὰ τὴν αὐτὴν συμβάλλεται δύναμιν ὡσαύτως ἔσται μεταβλητά, τοίνυν οὐκ ὀρθῶς λέγεται ἴσα τὰ στοιχεῖα, ἀλλ' ὁμωνύμως μόνον, ἢ εἰς ἴσα καὶ εἰς ἄλληλα μεταβάλλει.

Δεύτερον ἄτοπον ἕπεται τοῖς λέγουσιν ἀμετάβλητα τὰ στοιχεῖα, ὅτι οὐκ ἔστι κατὰ αὐτοὺς ἀληθὴς αὔξησις, ἀλλ' ἢ ἡ κατὰ πρόσθεσιν, ὥσπερ καὶ αὐτὸς Ἐμπεδοκλῆς φησι, πυρὶ γὰρ αὔξει τὸ πῦρ, αὔξει δὲ χθὼν μὲν σφέτερον γένος. αἰθέρα δὲ αἰθήρ, ταῦτα δὲ προστίθεται ὅμοια τοῖς ὁμοίοις ἀλλ' οὐ μεταβάλλεται. τὰ δὲ κατὰ φύσιν αὐξόμενα οὐχ οὕτως αὐξέσθαι δοκεῖ, ἀλλὰ μᾶλλον τῆς ἐν τούτοις ἀλλοιωτικῆς δυνάμεως μεταβαλλούσης τὸ ἀνόμοιον προσιόν, καὶ ἐξομοιούσης. Τρίτον ἄτοπος ἐστὶν ἡ τοῦ Ἐμπεδοκλέους δόξα, οὐ δύναται γὰρ ἀποδοῦναι τὸ αἴτιον τῆς κατὰ φύσιν γενέσεως. τὰ γὰρ φύσει ἀλλ' οὐ προαιρέσει, ἢ τέχνῃ γινόμενα, πάντα γίνεται, ἢ ἀεὶ ὡσαύτως, ἢ ὡς ἐπὶ τὸ πολύ, τοῦ δὲ τοιούτου πῶς Ἐμπεδοκλῆς δύναται λόγον ἀποδοῦναι ἐκ τῶν στοιχείων συνιόντων ὅπως ἂν τύχῃ, πάντα γινομένων, τὰ γὰρ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης σπάνια καὶ παρὰ τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ ἀεί, οὐκ ἔχει τοίνυν διδάξαι τὸ αἴτιον δι' ὃ ἐξ ἀνθρώπου ἄνθρωπος γίνεται ἢ ἀεὶ ὡς ἐπὶ τὸ πολύ, καὶ ἐκ τοῦ πυροῦ πυρός, ἀλλὰ μὴ ἐλαία, καὶ γὰρ ἐπειδὴ τὰ μὲν ἀπὸ τύχης σπάνια, τὰ δὲ ὑπὸ λόγου καὶ φύσεως τὰ αὐτὰ ὡς ἐπὶ τὸ πλεῖστον, δέοι ἂν μᾶλλον τὸ εἶδος καὶ τὴν φύσιν τῶν ὡς ἐπὶ τὸ πολὺ ὡδὶ γιγνομένων, ἢ τὴν τύχην αἰτίαν εἰπεῖν. εἰ οὖν ἐὰν ὡδὶ συμπέσῃ ὀστοῦν, καὶ οὐκ ἐκ τῶν στοιχείων ὁπωσδήποτε συνιόντων, ἀλλὰ κατά τινα ἀναλογίαν τῶν μιγνυμένων μορίων οὐ δεῖ τὴν τυχαίαν σύνελευσιν τῶν στοιχείων αἰτιᾶσθαι καθά φησιν ἐκεῖνος, ἀλλὰ λόγον τινὰ τὴν τοιαύτην ἀποτελοῦντα διάπλασιν. οὐκ ἔστι τοίνυν αἴτιον τῆς τοιᾶσδε μίξεως καὶ μεσότητος τῆς ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως γιγνομένης πῦρ, καὶ γῆ, καὶ ἡ τούτων σύνο-

δος,

δος, ἀλλὰ μᾶλλον φύσις τις κατὰ λόγον ἐνεργοῦσα, ἣν οὐκ ἀποδεδωκὼς Ἐμπεδοκλῆς ἥμαρτεν. εἰ δέ τις εἴποι ὅτι ἡ φιλία καὶ τὸ νεῖκος τῆς κατὰ λόγον γενέσεως αἴτια οὐκ ὀρθῶς ἐρεῖ, ἡ μὲν γὰρ φιλία μόνη συγκρίσεως αἴτιον, διακρίσεως δὲ τὸ νεῖκος, ἀλλ' οὐ τῆς ἐν λόγῳ μίξεως. τοῦτο γὰρ τὸ ἐν λόγῳ μίγνυσθαι, καὶ οὐχ ὡς ἔτυχεν, ἡ οὐσία ἐστὶν ἑκάστου καὶ φύσις, οὐ γὰρ ἡ μίξις καὶ ἡ τῶν μιγέντων διάλλαξις μόνον, ὥσπερ ἐκεῖνος φησί, φύσις ἐστίν. εἰ γὰρ ἡ τυχοῦσα μίξις φύσις ἐστὶ, τί ἂν ἔσται τὸ παρὰ φύσιν, καὶ γὰρ ἡμεῖς εἰκότως ὥσπερ ἐπὶ τῶν τεχνῶν ἡ τῶν σωμάτων ἁρμογὴ τῆς συνθέσεως αἰτία νομίζεται, ποιητικὴ δὲ τῆς τοιᾶσδε συνθέσεως ἡ τέχνη, οὕτως ἐπὶ τῶν κατὰ φύσιν γιγνομένων τὴν τῶν ἁπλῶν σωμάτων σύγκρισιν τῆς μίξεως αἰτίαν ὁμολογοῦμεν, τῆς δὲ κατὰ λόγον καὶ τὸ προσῆκον ἑκάστῳ τὴν φύσιν αἰτιώμεθα, ὡρισμένην τε οὖσαν καὶ μέτρῳ χρωμένην. παρεμφερῶς οὖν Ἐμπεδοκλῆς ὡς ἔτυχε μίγνυσθαι λέγων τὰ σώματα, τὴν τύχην ἐπὶ τούτων αἰτιᾶται, ἀλλ' οὐ τὸν λόγον, τὸ γὰρ κατὰ λόγον ἔχειν αἴτιον τῶν φύσει ὄντων, ἀλλ' οὐ τῶν τυχαίων, οὐδὲ τῶν ὁπωσδήποτε μιγνυμένων. ἐπειδὴ γὰρ οὐ τῷ μεμίχθαι συνίσταται τὰ πράγματα, ἀλλὰ τῷ ὡδί πως ὀρθῶς γε ἡ ἑκάστου φύσις αἴτιον νομίζεται τῆς τοιᾶσδε μίξεως, ἐπειδὴ γὰρ πέφυκεν ἕκαστον ὅμοιον ἑαυτῷ γεννᾷν, ὅμοια δὲ τῶν μικτῶν ὅσα τὸν αὐτὸν ἔχει λόγον τῆς μίξεως, φανερὸν ὅτι τὸ εἶδος ἑκάστου τῆς ἐν λόγῳ μίξεως ἐστὶν αἴτιον. περὶ ὧν οὐδὲν λέγων δῆλος ἐστὶν ὅτι οὐδὲν περὶ φύσεως λέγει, φύσεως γὰρ ἁπάσης πρώτιστον ἰδίωμα τὸ γεννᾷν ὅμοιον διὰ τῆς κατὰ τὸν αὐτὸν λόγον μίξεως. Ἔτι δὲ ἑκάστῃ εὖ καὶ ἀγαθὸν τὸ κατὰ φύσιν ἔχειν. ἔχει δὲ κατὰ φύσιν ὅσα σώζει τὴν κατὰ λόγον μίξιν, ἄρ' ἡ κατὰ λόγον μίξις τὸ εὖ καὶ τὸ ἀγαθόν. ὁ δ' Ἐμπεδοκλῆς οὐδὲν περὶ τῆς ἐν λόγῳ μίξεώς φησιν, ἀλλὰ μόνον τὴν ἁπλῶν μίξιν ἐπαινεῖ, καίτοι ψεκτὴν οὖσαν ὅτι μὴ ἐν λόγῳ γίγνεται, ἀλλὰ κατὰ τύχην. κἀκεῖνο δὲ ἁμάρτημα Ἐμπεδοκλέους, ὅτι τὸ νεῖκος ψέγει, ὡς διακριτικὸν ὂν τοῦ σφαίρου, ὁ δὲ σφαῖρος θεός ἐστι κατ' αὐτὸν, ὥστε οὐδὲ τὴν φιλίαν ἐπαινεῖν δεῖ. διακρίνει γὰρ καὶ αὕτη. ἐπειδὴ γὰρ ἡ φιλία ἐκ τῶν στοιχείων ποιεῖ τὸν Σφαῖρον, φανερὸν ὅτι διακρίνει τὰς τῶν στοιχείων διαφοράς. καὶ εἰς ἕν τι καὶ ὁμοφυὲς συνάγει, καὶ ταῦτα τῶν στοιχείων θεῶν ὄντων, πῶς γὰρ ἐκ μὴ θεῶν ὁ Θεὸς γένηται, πρότερα γὰρ τοῦ Θεοῦ καὶ τοῦ Σφαίρου τὰ στοιχεῖα. ὥστε εἰ τὸ νεῖκος ψέγεται ὡς διακριτικὸν τοῦ Θεοῦ, μᾶλλον ἂν ἄτοπος ἡ φιλία θεῶν οὖσα φθαρτικὴ καὶ χωριστική. Τέταρτον οὐκ ὀρθῶς Ἐμπεδοκλῆς ποιεῖ περὶ κινήσεως δι' ἧς ὁ Κόσμος πεποίηται ἁπλῶς καὶ ἐπιπολαίως λέγων, οὐ γὰρ ἱκανόν ἐστιν εἰπεῖν ὅτι ἡ κίνησις ἀπὸ τῆς φιλίας καὶ τοῦ νείκους, ἀλλ' ἔδει διορίσα-

σθαι

θαι τίς ἐστιν ἡ τοιαύτη κίνησις, καὶ ὡς ἐπιστήμονα τὰς μὲν ἀρχὰς ὑποθέσθαι, τὰ δὲ μετ' αὐτὰς ἀποδεῖξαι, εἰ μὴ ἄρα εἴποι τὸ φιλίᾳ κινεῖσθαι οὐκ ἄλλο ἐστὶν, εἰ μὴ τὸ τοιανδὶ κίνησιν κινεῖσθαι. νείκει δὲ τὸ τοιανδί. ἀλλ' οὗτος ἔοικεν οὐκ εἰδικὰ ἀλλὰ ποιητικὰ νομίζειν τὸ νεῖκος καὶ τὴν φιλίαν. Πέμπτον ἀπορήσειεν αὖτις κατὰ τοῦ Ἐμπεδοκλέους, ὅτι ἐπειδὴ φαίνεται τὰ σώματα κινούμενα βίᾳ, καὶ παρὰ φύσιν, καὶ κατὰ φύσιν. καὶ κατὰ φύσιν οἷον τὸ πῦρ ἄνω φέρεται οὐ βίᾳ, ἀλλὰ κατὰ φύσιν, κάτω δὲ βίᾳ καὶ παρὰ φύσιν. ἀλλὰ καὶ ὁ λόγος τοῦτ' αὐτὸ πείθει. τῶν γὰρ ἐναντίων θατέρου ὄντος, καὶ τὸ ἕτερον ὑπάρχει. ἀλλὰ μὴν ἔστι τὸ βίᾳ, ἔστιν ἄρα καὶ τὸ κατὰ φύσιν κινεῖσθαι. τῷ γὰρ βίᾳ τὸ κατὰ φύσιν ἐναντίον, πότερον ἡ φιλία τῆς κατὰ φύσιν κινήσεως αἰτία, ἢ τῆς παρὰ φύσιν ἐστί. δοκεῖ μὲν οὖν αὐτὸς τὴν φιλίαν ἐπαινῶν τῆς κατὰ φύσιν κινήσεως αἰτίαν ἀποφαίνεσθαι. τὸ δὲ οὐχ οὕτως ἔχει. ἀλλὰ μᾶλλον τὸ νεῖκος δοκεῖ αἴτιον τῆς κατὰ φύσιν κινήσεως, ἢ ἡ φιλία. ἡ μὲν γὰρ Γῆ κάτω φερομένη κατὰ φύσιν λέγεται κινεῖσθαι, ἄνω δὲ βίᾳ. τὸ δὲ Πῦρ κάτω μὲν βίᾳ, ἄνω δὲ κατὰ φύσιν. ἀλλὰ μὴν ἡ φιλία εἰς ἓν συνάγουσα τὰ σώματα τὴν μὲν Γῆν ἀφίστησι τοῦ κάτω, τὸ δὲ Πῦρ τοῦ ἄνω, τὸ δὲ νεῖκος χωρίζον τοῦ σφαίρου τὰ σώματα τὴν μὲν Γῆν ἐπὶ τὸ μέσον κινεῖ, τὸ δὲ Πῦρ ἐπὶ τὸ πέριξ. ἄρα τῆς μὲν κατὰ φύσιν κινήσεως πυρὸς καὶ γῆς αἴτιον τὸ νεῖκος. τῆς δὲ παρὰ φύσιν ἡ φιλία. μάλιστα δὲ ἐπειδὴ τὴν παρὰ φύσιν κίνησιν διάκρισιν ὀνομάζει, ἔοικεν ὅτι διακριτικόν ἐστι τὸ τὴν γῆν ἄνω φέρον, καὶ τὸ πῦρ κάτω, ἐπειδὴ τοιγαροῦν ὡς ἕκαστον πέφυκεν οὕτω καὶ ἐνεργεῖ, καὶ τῶν παρὰ φύσιν κινήσεων τὰ κινοῦντα εἰκός ἐστι παρὰ φύσιν λέγειν, φανερὸν ὅτι ἡ φιλία ὅλως ἔσται παρὰ φύσιν μᾶλλον, ἢ τὸ νεῖκος. ἡ γὰρ φιλία τῶν παρὰ φύσιν κινήσεων αἰτία δέδεικται. Ἕκτον ἕπεται τῇ τοῦ Ἐμπεδοκλέους ὑποθέσει οὐδεμίαν κίνησιν, οὐδὲ μονὴν εἶναι αὐτῶν τῶν σωμάτων. εἰ μὴ ὅπου κινεῖ ἡ φιλία, ἢ τὸ νεῖκος, ταῦτα γὰρ αἴτια κινήσεως τίθεται. τοῦτο δὲ ἄτοπον. τὸ γὰρ ἐξ ἄλλου κινούμενον μηδεμίαν ἔχον ἐξ αὐτοῦ ῥοπὴν κινούμενον φέρεται παρὰ φύσιν. εἰ τοίνυν ὑπὸ μόνης τῆς φιλίας καὶ τοῦ νείκους κινοῦνται τὰ στοιχεῖα, παρὰ φύσιν ἔσται ἡ κίνησις αὐτῶν.. πρόσθες ὅτι εἰ τῶν κινήσεων αἴτια ἡ φιλία καὶ τὸ νεῖκος, μὴ ὄντων τούτων ἔδει μὴ κινεῖσθαι τὰ στοιχεῖα, ἀλλὰ μὴν φαίνεται κινούμενα, ἄρα οὐ μόνον ἡ φιλία καὶ τὸ νεῖκος ἀρχὴ κινήσεως. ὅτι δὲ ἄνευ νείκους καὶ φιλίας κινεῖται τὰ στοιχεῖα καὶ αὐτὸς ὁμολογεῖ, διέκρινε γάρ φησι τὸ νεῖκος, ἠνέχθη δὲ ἄνω ὁ αἰθὴρ, ὥστε ἡ μὲν διάκρισις καὶ ὁ χωρισμὸς ἐκ τοῦ σφαίρου ὑπὸ τοῦ νείκους, ἡ δὲ φορὰ οὐχ ὑπὸ τοῦ νείκους, καίτοι μὴ δ' οὕπω τοῖς λεγομένοις ἐφιστάνει, ἀλλὰ τὴν διάκρισιν ἀποδοὺς

τῶν

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

τῷ νείκει, τὴν τῶν στοιχείων φορὰν ὁτὲ μὲν ἀπονέμει τῇ τύχῃ, φησὶ γάρ. „ οὕτω συνέκυρσε θέων τότε. ὁτὲ δ' ἄλλως ἀποφαίνεται, ἐνθ' ὅτε δέ φησι κατὰ φύσιν κινεῖσθαι τὰ στοιχεῖα εἰς τοὺς οἰκείους τόπους. οἷον τὸ πῦρ ἄνω φέρεσθαι πεφυκέναι. φησὶ γάρ, „ ὁ δ' αἰθὴρ μακρῇσι κατὰ χθόνα δύετο ῥίζαις. ὥστε οὐδ' αὐτὸς ἑαυτῷ συμφωνεῖ. ποτὲ μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν ἀρχὰς τιθέμενος κινήσεως, ποτὲ δὲ τὴν τύχην, ποτὲ δὲ τὴν φύσιν. Ἕβδομον ἐξ ὧν αὐτός φησιν ὅτι ὁ Κόσμος ὁμοίως ἔχει ἐπί τε τοῦ νείκους νῦν, καὶ πρότερον ἐπὶ τῆς φιλίας, συναγάγοι αὔτις ὅτι ὁ Κόσμος νῦν τε καὶ πρότερον ὁμοίαν τινὰ κινεῖται κίνησιν, τῆς δὲ ὁμοίας κινήσεως οὐκ ἔστιν αἴτιον τό, τε νεῖκος νῦν, καὶ ἡ φιλία πρότερον. ταῦτα γὰρ τῶν ἐναντίων κινήσεων αἴτια φαίνεται, ἡ γὰρ σύγκρισις καὶ διάκρισις ἐναντία. Ἔτι δὲ τὸ νεῖκος καὶ ἡ φιλία τῶν ἐπὶ μέρους κινήσεων αἴτια, ἀλλ' οὐ τῆς καθόλου ἣν ὁμοίως ὁ Κόσμος ἀεὶ κινεῖται νῦν τε καὶ πρότερον. Ἔδει οὖν αὐτὸν ἀποδοῦναι τί τὸ κινοῦν Πρῶτον καὶ αἴτιον τῆς κινήσεως, ἐπειδὴ γάρ ἐστιν, ἐκεῖνο μᾶλλον ἀρχή, τὰ γὰρ ἀεὶ ὡσαύτως ἔχοντα τῶν μὴ τοιούτων μᾶλλον ὑπάρχουσιν ἐν ἀρχῆς λόγῳ, τὸν δὲ φιλοσοφοῦντα ἐκεῖνα τῶν αἰτίων μᾶλλον εἰκός ἐστι σκοπεῖν ὅσα τὸν τῆς ἀρχῆς λόγον κυριώτερον σώζει. Ὄγδοον ἄτοπον ἕπεται ὅτι καὶ τὴν ψυχὴν Ἐμπεδοκλῆς ἐκ τῶν στοιχείων γεννᾷ, καὶ οὔτι αὐτῶν τίθησι, δι' ὧν φησι. „ Γαίῃ μὲν γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον, „ ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ. εἰ γοῦν ἡ ψυχὴ ἐκ τῶν στοιχείων, καὶ τὰ πάθη αὐτῇ ἐκ τῶν στοιχείων ἔσται, ἀλλ' οὐχ οὕτως ἐστίν. αἱ γὰρ ἀλλοιώσεις αἱ τῆς ψυχῆς, οἷον τὸ μουσικὸν καὶ τὸ ἄμουσον, καὶ ἡ μνήμη καὶ ἡ λήθη οὐκ εἰσὶ σωματικά. καὶ πάλιν εἰ ἡ ψυχὴ οὔτι τῶν στοιχείων, ὑπάρξει αὐτῇ τὰ πάθη τὰ τοῦ τοιούτου στοιχείου, οἷον εἰ πῦρ ἕξει ὅσα πυρὶ πρόσεστιν ᾗ πῦρ, οἷον κουφότης, μανότης, θερμότης, εἰ δὲ ὕδωρ ὅσα τῷ ὕδατι, οἷον ψύξις, βαρύτης, ὑγρότης, εἰ δὲ ἐκ τῶν στοιχείων ἡ ψυχὴ μικτὸν ἅπαντα τὰ πάθη ταύτης σωματικὰ ἔσται, ἀλλ' οὐχ οὕτως ἐστίν. οὐ γὰρ σωματικὸν οὐδὲν τῶν οἰκείων τῆς ψυχῆς παθῶν, ἀλλὰ περὶ μὲν τούτων ἑτέρας ἔργον ἐστὶ θεωρίας.

## Ἀπορίαι.

Ἀπορεῖται πρῶτον τῷ τόπῳ ὁ Φιλόσοφος τὰ συμβλητὰ κατὰ τὸ ποσὸν ἐξ ἀνάγκης εἰς ἄλληλα φησὶ μεταβλητά, εἴγε πᾶσι δῆλον ὅτι τὰ αἰθέρια σώματα συμβάλλεται κατὰ μέγεθος καίτοι μὴ εἰς ἄλληλα πεφυκότα μεταβάλλειν; ἢ ὅτι συμβλητά φησιν Ἐμπεδο-

κλῆς

Ε.Υ.Ζ.Π.Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006